## Epigrammata (dubia)

### F°5

**Edd.:** *AP* VII 710 (*HE* 1). Primm. recc. Wolf 1734 [vv. 1-4], Brunck 1772 [vv. 1-8].

⊗ Cτᾶλαι καὶ  cειρῆνες ἐμαὶ καὶ πένθιμε κρωccέ,
 ὅcτις ἔχεις Ἀίδα τὰν ὀλίγαν cποδιάν,
τοῖc ἐμὸν ἐρχομένοιcι παρ’ ἠρίον εἴπατε χαίρειν,
 αἴτ’ ἀcτοὶ τελέθωντ’ αἴθ’ ἑτεροπτόλιεc·
χὤτι με νύμφαν εὖcαν ἔχει τάφοc, εἴπατε καὶ τό·
 χὤτι πατήρ μ’ ἐκάλει Βαυκίδα, χὤτι γένοc
Τηνία, ὡc εἰδῶντι· καὶ ὅττι μοι ἁ cυνεταιρίc
 Ἤρινν’ ἐν τύμβωι γράμμ’ ἐχάραξε τόδε. ⊗

**Cod.:** P; om. Pl.
‖ inscriptio C: ’Ηρίννηc Μιτυληναίαc (infra erasa verba Ἀρχίου Μιτυλ.) – lemma L: εἰc Βρυκίδα τὴν Μιτυληναίαν, ’Ηρίννηc δὲ cυνεταιρίδα.
‖**2** Ἀίδα P : Ἀΐδαι Reiske : alii alia ‖**3** ἐμὸν Salmasius : ἐμοῖc P ‖**4** τελέθωντ’ αἴθ’ Reiske : τελέθων ταὶ θ. P | ἑτεροπτόλιεc Heringa : θετέρωι πόλιοc P : alii alia ‖**6** Βαυκίδα Heringa : βρυκίδα P ‖**7** Τηνία, ὡ. ε. Pauw : τηνι (?) δώcει δων τι P : Τηλία, ὡ. ε. prop. Schneidewin : alii alia | cυνεταιρίc Ap. B. : cυνεταρίc P.

### F°6

**Edd.:** *AP* VII 712 (*HE* 2). Prim. rec. Wolf 1734.

⊗ Νύμφαc Βαυκίδοc εἰμί· πολυκλαύταν δὲ παρέρπων
 cτάλαν τῶι κατὰ γᾶc τοῦτο λέγοιc Ἀίδαι·

**Cod.:** P; om. Pl.
‖ inscriptio C: ’Ηρίννηc – lemmata L: εἰc Βαυκίδα τινὰ νύμφην ἐν τῶι θαλάμωι τελευτήcαcαν (ante v. 1), εἰc τὴν αὐτὴν Βαυκῶ (ante v. 5, in subsequenti cod. pagina).

“βάσκανος ἔσσ’, Ἀίδα.” τὰ δέ τοι καλὰ σάμαθ’ ὁρῶντι
  ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,
ὡς τὰν παῖδ’ Ὑμέναιος ἐφ’ αἷς † ἤδετο πεύκαις
  τᾶνδ’ ἐπὶ καδεστὰς ἔφλεγε πυρκαϊᾶς·
καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδάν
  ἐς θρήνων γοερὸν φθέγμα μεθηρμόσαο. ⊗

‖**3** βάσκανος ἔσσ’ edd. pl. : βάσκανός ἐσσ’ C | τὰ δέ τοι καλὰ P : alii alia | σάμαθ’ ὁρῶντι Jacobs[2] : τὰ μεθ’ ὁρ. C (ταμεθορ. A) : alii alia ‖**4** ὠμοτάταν Βαυκοῦς Salmasius : ὄμματα τὰ Β. P : alii alia | τύχαν Salmasius : -χαι P ‖**5** ὡς Salmasius : ὃς P : alii alia | ἐφ’ αἷς P : ἐφ’ αἷς<τισιν> Neri : alii alia | ἤδετο Jensius : ἥδετο (sic) P : ἠείδετο Malzow : ἀείδετο Schnedewin[3] : alii alia ‖**6** τᾶνδ’ Stadtmüller : τᾶν δ’ P : τάνδ’ Jensius : ταῖσδ’ Heringa : τᾶσδ’ Wilamowitz[7] : alii alia | πυρκαϊᾶς C : -ὰς A : -ᾶι Jacobs[2] : alii alia ‖**7** μολπαῖον Bergk[2] : -αῖαν C : -αίαν A ‖**8** γοερὸν A : γοερῶν C | μεθηρμόσαο P : μεθαρμόσαο Toup.

## F°7

**Edd.:** *AP* VI 352 (*HE* 3). Prim. rec. Ursinus 1568.

⊗ Ἐξ ἀταλᾶν χειρῶν τάδε γράμματα· λῷστε Προμαθεῦ,
  ἔντι καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν.
ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅστις ἔγραψεν,
  αἱ καὐδὰν ποτέθηκ’, ἦς κ’ Ἀγαθαρχὶς ὅλα. ⊗

**Codd.:** P, Pl. IV[b] 5,3 f. 97[v].
‖ inscriptio A: Ἠρίννης – inscriptio Pl.: Ἠρίννης.
‖**1** ἐξ ἀταλᾶν A : δέξ’ ἀ. C : ἐξ ἀπαλῶν Pl. : alii alia | Προμαθεῦ P : Προμηθεῦ Pl. ‖**2** ἔντι P : ἐντὶ Pl. | τὶν P : τὴν Pl. ‖**4** αἱ καὐδὰν Weiske : αἴκ’ αὐγὰν codd. : alii alia | ποτέθηκ’ Ap.B. : -θήκ’ A : ποτὲ θῆκ’ C : ποτε θῆκ’ Pl. | ἦς κ’ Ἀγ. P : ἦς Ἀχ. Pl. : alii alia | ὅλα cum Pl. edd. pl. : ὅλα P.

## Spuria

### F°°8

**Edd.:** *SH* [405]. Prim. rec. Ursinus 1568.

**Test.:** Plin. *NH* XXXIV 19,57 *Myronem Eleutheris natum … fecisse et cicadae monumentum ac locustae carminibus* (*c.* Ω : *carnibus* RVdh) *suis Erinna* (*E.* Gelenius : *Erimna* B : *Erina* Ω) *significat.*

sine verbis fragmentum. Cf. autem Anyt. *AP* VII 190 (*HE* 20 = 20 Geo.) Ἀκρίδι, τᾶι (τ. PPl. : τῆι *Suda* δ 1545 A.) κατ' ἄρουραν ἀηδόνι, καὶ δρυοκοίται (δ. C Pl. : -τωι A : -τηι *Suda*) / τέττιγι ξυνὸν τύμβον ἔτευξε Μυρώ, / παρθένιον ϲτάξαϲα κόρα δάκρυ· διϲϲὰ γὰρ αὐτᾶϲ / παίγνι' ὁ δυϲπειθὴϲ ᾤιχετ' ἔχων Ἀίδαϲ.

**Codd.:** BRVFadTh.

### F°°9

**Edd.:** Melinn. *SH* 541. Prim. rec. Stephanus 1560.

**Test.:** Stob. III 7,12 (III 312s. H.) Μελιννοῦϲ Λεϲβίαϲ εἰϲ Ῥώμην· [vv.1-20].

⊗ Χαῖρέ μοι, Ῥώμα, θυγάτηρ Ἄρηοϲ,
χρυϲεομίτρα δαΐφρων ἄναϲϲα,
ϲεμνὸν ἃ ναίηϲ ἐπὶ γᾶϲ Ὄλυμπον
αἰὲν ἄθραυϲτον.

**Codd.:** $M^d$A, om. S.

‖**1** Ἄρηοϲ Grotius : -εοϲ test. ‖**2** χρυϲεομίτρα Grotius : -όμιτρε test. : alii alia ‖**3** ἃ ναίηϲ Wilamowitz[6] : ἂν αἴηϲ A : ἂν αἴηϲ $M^d$ : ἃ ναίειϲ Grotius: alii alia

coì μόναι, πρεcβίcτα, δέδωκε Μοῖρα
κῦδος ἀρρήκτω βασιλῆιον ἀρχᾶc,
ὄφρα κοιρανῆιον ἔχουcα κάρτος
ἀγεμονεύηc.
cᾶι δ’ ὕπα cδεύγλαι κρατερῶν λεπάδνων
cτέρνα γαίας καὶ πολιᾶc θαλάccαc
cφίγγεται· cὺ δ’ ἀcφαλέωc κυβερνᾶιc
ἄcτεα λαῶν.
πάντα δὲ cφάλλων ὁ μέγιcτος Αἰών
καὶ μεταπλάccων βίον ἄλλοτ’ ἄλλωc
coì μόναι πληcίcτιον οὖρον ἀρχᾶc
οὐ μεταβάλλη.
ἦ γὰρ ἐκ πάντων cὺ μόνα κρατίcτουc
ἄνδραc αἰχματὰc μεγάλουc λοχεύειc
εὔcταχυν Δάματροc ὅπωc ἀνεῖcα
καρπὸν ἀπ’ ἀνδρῶν. ⊗

‖**5** πρεcβίcτα Gesner[3] : πρέcβιc τὰ A : πρέcβυc τὰ M[d] : πρέcβιcτα Grotius : alii alia ‖**7** ἔχουcα test. : -οιcα Grotius, fort. recte ‖**8** ἁγεμονεύηc A : ἁγ. M[d] : ἀγεμονεύηιc Born : ἁγ. Gesner[1] ‖**9** ὕπα M[d] : ὑπὸ A : ὑπὰ Hense : ὑπὰ Diehl[2] ‖**16** μεταβάλλη M[d] : -βάλληι A : -βάλλει Gesner[3] ‖**18** μεγάλουc test. : -λωc Gesner[1] | λοχεύειc test. : -εύcαc Gesner[1] : nescio an -εύηc ‖**19** ἀνεῖcα A : cυνείcω M[d] : cυνοίcηιc Gesner[1] ‖**20** ἀπ’ ἀνδρῶν test. : ἀπ’ ἀγρῶν (vel ἀρουρᾶν) Bergk[6] : ἀ. ἀ. crucibus concll. Lloyd-Jones/Parsons : alii alia | carmen integrum non esse cens. Brunck[2].

## F°°10

**Edd.:** ‘Cleobulin.’ fr. 1 W.[2]

**Testt.:** (I) Arist. *Rh.* (III 2) 1405a 35-1405b 4 ἔτι δὲ οὐ πόρρωθεν δεῖ ἀλλ’ ἐκ τῶν cυγγενῶν καὶ τῶν ὁμοειδῶν μεταφέρειν … οἷον ἐν τῶι αἰνίγματι τῶι εὐδοκιμοῦντι [v. 1] ... κόλληcιν τοίνυν εἶπε τὴν τῆc cικύαc προcβολήν, (II) *Po.* (22,1) 1458a 26-30 αἰνίγματόc τε γὰρ ἰδέα αὕτη ἐcτί, τὸ λέγοντα τὰ ὑπάρχοντα ἀδύνατα cυνάψαι … οἷον [v. 1], (III) Demetr. [Phal.] *Eloc.* 102 φυλάττεcθαι μέντοι κἀπὶ ταύτηc (scil. τῆc ἀλληγορίαc) τὸ cυνεχέc, ὡc μὴ αἴνιγμα ὁ λόγοc ἡμῖν γένηται, οἷον τὸ ἐπὶ τῆc cικύαc (edd. : cικίαc M : cυκίαc P) τῆc ἰατρικῆc· [v. 1], (IV) Plut. *Sept. sap. conv.* (10) 154b-c ἡ … Εὔμητιc [scil. Cleobulina: cf. 148b-e, *Pyth. orac.* (14) 401b] … ἀνεπλήcθη τὸ πρόcωπον ἐρυθήματοc· ὁ δ’ Αἴcωποc οἷον ἀμυνόμενοc ὑπὲρ αὐτῆc· “οὐ γε-

λοιότερον οὖν” εἶπε “τὸ μὴ δύναcθαι ταῦτα διαλύειν; οἷόν ἐcτιν ...· [v. 1]. τί τοῦτ’ ἐcτὶν ἔχοις ἂν εἰπεῖν;” “ἀλλ’ οὐδὲ μαθεῖν δέομαι” ἔφη ὁ Κλεόδωρος “καὶ μὴν οὐδεὶς” ἔφη “coῦ (ἔ. c. Méziriac : ἔφηcε codd.) τοῦτο μᾶλλον οἶδεν οὐδὲ ποιεῖ βέλτιον· εἰ δ’ ἀρνῆι, μάρτυρας ἔχω Cικυωνίαc.” ὁ μὲν οὖν Κλεόδωρος ἐγέλαcε· καὶ γὰρ ἐχρῆτο μάλιcτα ταῖc cικύαις (α[pc] : cικυωνίαις Ω) τῶν καθ’ αὐτὸν ἰατρῶν, καὶ δόξαν οὐχ ἥκιcτα τὸ βοήθημα τοῦτο δι’ ἐκεῖνον ἔcχηκε, (V) Ath. X 452b = Clearch. Sol. fr. 94 W. πολλοὶ δὲ <τῶν> (add. Kaibel) γρίφων καὶ τοιοῦτοί τινές εἰcιν οἷον· [vv.1-2]. τοῦτο δὲ cημαίνει cικύας προcβολήν, (VI) Syr. *In Hermog.* I 36,12-14 R. ≅ anon. *In Hermog. RhG* VII 949,15-18 W. ἔοικε δὲ ταῖc ἐμφάcεcι καὶ τὰ αἰνίγματα καλούμενα ἤτοι γρῖφοι, οἷον [v. 1], (VII) Io. Sic. *In Hermog. RhG* VI 199,29-200,2 W. καὶ μὴν καὶ οἱ γρίφοι [sic] cοφοὶ ὄντες τῆc αὐτῆc ἰδέας τῆc ἀcαφείας εἰcὶ τῆc ἐπαινουμένης καὶ τῶν ἐμφάcεων, οὐ μὴν τῆc χειρίcτης, οἷον· [v. 1]· cημαίνει δὲ τὴν cικυιάν. Cf. Hesych. ε 4187 L. ἐπ’ ἀνέρι· ἐπ’ ἀνθρώπωι (quod fort. Greg. Naz. *Carm. de se ipso* 988,1 respicit).

⊗ Ἄνδρ’ εἶδον πυρὶ χαλκὸν ἐπ’ ἀνέρι κολλήcαντα
οὕτω cυγκόλλωc ὥcτε cύναιμα ποιεῖν. ⊗

**Codd.:** AFHBYDCoTuLaC (I) – ABYZ (II) – PM (III) – ΡΠJOQBnvw (IV) – ABP (V) – SV et PaPbPcBM (VI) – *MedParVind1Vind2* (VII) – M (Hesych.).

‖**1** ἄνδρ’ εἶδον I, IV, V : ἄ. ἴδον II(A) : ἄνδρες εἶ. II(B) : ἄνδρα εἶ. III : εἶδον ἐγὼ VI(Ω), VII(Med Vind1Vind2) : ἰδὼν ἐ. VI(V) : οἶδον ἐ. VII(Par) | πυρὶ χαλκὸν IV, V, VI(Ω) : πυρίχαλκον I, II, III, VII : πύριον χαλκὸν VI(V) ‖**2** versum interpolatum cens. Diehl[1] (dub. iam Bergk[1]).

## F°°11

**Edd.:** ‘Cleobulin.’ fr.2 W.[2]

**Test.:** *Διccοὶ λόγοι VS* 90 B 3,10s. (= 118,8-15 Rob. = 188-190 M.-F. = p. 66 B.-S.) ἐπὶ δὲ τὰc τέχναc τρέψομαι … ἐν γὰρ τραγωιδοποιίαι καὶ ζωγραφίαι ὅcτιc πλεῖcτα ἐξαπατῆι ὅμοια τοῖc ἀληθινοῖc ποιέων, οὗτος ἄριcτος. θέλω δὲ καὶ ποιημάτων παλαιοτέρων (π. π. Diels[2] : ποιήματα τῶν π. codd.) μαρτύριον ἐπαγαγέcθαι. Κλεοβουλίνης· [vv. 1-2]. ἦν πάλαι ταῦτα.

⊗ Ἄνδρ’ εἶδον κλέπτοντα καὶ ἐξαπατῶντα βιαίωc,
καὶ τὸ βίαι ῥέξαι τοῦτο δικαιότατον. ⊗

**Codd.:** R.L.H.P4.P6.V1.V2.P1.P3.B.P2.P5.

‖**1** βιαίως Devarius : βία· ὡς codd. : alii alia | inter vv.1 et 2 lac. perperam susp. Bergk[5] ‖**2** ῥέξαι Ω : δρᾶσαι Wilamowitz[2] | aenigma subditicium iudicavit Gruppe.

## F°°12

**Edd.:** ‘Cleobulin.’ fr. 3 W.[2]

**Test.:** Plut. *Sept. sap. conv.* (5) 150e ὁ δ’ Αἴσωπος “εἴ γ’” εἶπεν “εἰδείης, ὦ ξένε, τοὺς νῦν αὐλοποιοὺς ὡς προέμενοι τὰ νέβρεια (v. West[1] : -εῖα codd.) χρῶνται (Paton-Wegehaupt : χρώμενοι codd.) τοῖς ὀνείοις <καὶ> (add. Paton-Wegehaupt) βέλτιον ἠχεῖν λέγουσιν. διὸ καὶ Κλεοβουλίνη (Amyot : Κλεόβουλον ἢ codd.) πρὸς τὸν Φρύγιον αὐλὸν ᾐνίξατο (Amyot : ἤξατο PQ : ἤρξατο Ω)· [v. 1]· ὥστε θαυμάζειν τὸν ὄνον εἰ παχύτατος καὶ ἀμουσότατος ὢν τἆλλα (τ. West[1] : τἄλλα edd. pl.) λεπτότατον καὶ μουσικώτατον ὀστέον παρέχεται”.

κνήμηι νεκρὸς ὄνος με κερασφόρωι οὖας ἔκρουσεν

**Codd.:** PΠJOQBnvw.
‖**1** νεκρὸς ὄνος με Bernardakis : νεβρογόνος (νεκρ. AE) αιμε (αἷμα OvΠ) Ω : νεβρόγονός με Herrmann | ἔκρουσεν Herrmann : -ουσε n : ἐκτίκρουσε PQ : ἔκ τι (τινος w : τε O) κρούσε OvwΠ.

## F°°13

**Edd.:** Cleobul. *AP* XIV 101. Prim. rec. Hartung 1857.

**Testt.:** (I) Cleobul. *AP* XIV 101 [vv. 1-4], (II) Diog. Laert. I 90s. φέρεται δ’ αὐτοῦ [scil. Κλεοβούλου] ἐν τοῖς Παμφίλης Ὑπομνήμασι [*FGH* III 521] καὶ αἴνιγμα τοῖον· [vv. 1-4]. ἔστι δ’ ὁ ἐνιαυτός, (III) Stob. I 8,37 (I 99,15-20 W.) Κλεοβούλου σοφοῦ τῶν αἰνιγμάτων· [vv. 1-4], (IV) *Suda* κ 1718 A. Κλεοβουλίνη· Λινδία, θυγάτηρ Κλεοβούλου τοῦ σοφοῦ. ἔγραψεν ἔπη, καὶ γρίφους, καὶ τὸ αἰδόμενον εἰς τὸ ἐνιαυτὸν αἴνιγμα, οὗ ἡ ἀρχή· [vv. 1-2 usque ad -κοντα] (VAMG : post ἔγραψεν om. F).

⊗ Εἷς ὁ πατήρ, παῖδες δυοκαίδεκα· τῶν δὲ ἑκάστωι
κοῦραι ἑξήκοντα διάνδιχα εἶδος ἔχουσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ’ αὖτε μέλαιναι·
ἀθάναται δὲ τ’ ἐοῦσαι ἀποφθινύθουσιν ἅπασαι. ⊗

**Codd.:** P, om. Pl. (I) – BPFΦΔΠ (II) – FP (III) – VA[r]FMG (IV).
‖ lemma B[2]: αἴνιγμα.

‖**1** δυοκαίδεκα I (δυω.), II(F$^3$) : δὲ δυώδεκα II(BP), III(P$^2$), IV : δὲ om. II(Φ) | ἑκάςτωι II, III, IV : θ’ ἑκάςτηι I : alii alia ‖**2** κοῦραι Canter : κᾶρα III(F : κάρα P) : παῖδες I, II, IV | ἑξήκοντα II(Δ), III : τριήκοντα I, II(α) : τριά. II(ΦΠ), IV : alii alia | διάνδιχα I, II : -δίχη III ‖**3** αἱ$^{i,ii}$ I, II : αἳ$^{i,ii}$ III | ἔαςιν testt. : ἔαςι dub. Diehl$^1$, fort. recte | αὖτε I, II(Ω) : αὖται III : αὐταὶ II(B) ‖**4** ἀθάναται III : -τοι I, II | τ’ ἐοῦςαι I, II(Ω) : τε οὖςαι II(ΡΦ), III.

## F°°14

**Edd.:** *(a)(b)*: Panarc. pp. 93s. W.$^2$. Prim. rec. Hartung 1857.

**Testt.:** (I) *schol.* Plat. *Remp.* 479c (p. 235 G.) = Clearch. Sol. fr. 95a W. παίδων αἰνίγματι· Κλεάρχου γρῖφος· [*(b)* vv. 1-4]. ἄλλως· [*(a)* v. 1] ὁ εὐνοῦχος, [*(a)* v. 2] νυκτερίδα (Green : ῥοπτερίδα codd.), [*(a)* v. 3] νάρθηκος, [*(a)* v. 4] κιςήρει. νυκτερίδα ὁ εὐνοῦχος νάρθηκος κιςήρει. Cf. et (II) Plat. *Resp.* 479b-c, (III) Ath. X 452c = Clearch. Sol. fr. 94 W. καὶ τὸ Πανάρκους δ’ ἐςτὶ τοιοῦτον … ὅτι βάλοι [*(b)* vv. 3, 2 ὄρνιθα–ὄρνιθα, 1 ἀνήρ–ἀνήρ, 4 λίθωι–λίθωι] …, (IV) [Tryph.] *Trop.* 4 *RhG* III 194,12s., 15-27 Sp. καὶ ἐν τῶι βίωι δέ τινα αἰνιγματωδῶς γίνονται κατὰ τὸν ὅμοιον τρόπον … κατ’ ἐναντίον δέ, οἷον ὡς [*(b)* vv. 1 ἀνήρ–4] …, (V) Syr. *In Hermog.* I 36,14s. R. ≅ anon. *ibid.* *RhG* VII 949,19 W. [vd. ad F°°10] καὶ τὸ [*(b)* v. 3], (VI) [Choerob.] *Trop.* 20 *Rh.Gr.* III 253,18-25 Sp., (VII) *Σ*$^b$ α 523 Cunn. = Phot. α 604 Th. αἶνος· λόγος παροιμιώδης. ἢ ἔπαινος καὶ ἐγκώμιον. [*(b)* v. 1], (VIII) Phot. ν 274 Th. = *Suda* ν 578 A., (IX) *Suda* αι 230 A. αἶνος· λόγος παροιμιώδης. ἢ ἔπαινος, καὶ ἐγκώμιον. [*(b)* v. 1, *(a)* vv. 2-4]. εὐνοῦχος, νυκτερίς, νάρθηξ, κίςςηρις, (X) Eust. *Il.* VIII 282, 713,10-17 (II 580,9-581,1 V.) = Clearch. Sol. fr. 95b W. καὶ ςυλλαλεῖ τῆι ἐννοίαι ταύτηι καί τις παλαιὸς αἶνος, ἤγουν … αἴνιγμα, κείμενον παρὰ Κλεάρχωι, εἰπόντι ἐμμέτρως οὕτω [*(b)* vv. 1-4] …, (XI) David *Prol. Phil.* *CAG* XVIII/2 42,10-13 (XI) καὶ πάλιν ὡς ἐπὶ τοῦ γρίφου ἤγουν τοῦ αἰνίγματος τοῦ λέγοντος [*(a)* vv. 1-4]· …

*(a)* ⊗ Ἄνθρωπος οὐκ ἄνθρωπος, ἄνθρωπος δ’ ὅμως,
ὄρνιθα κοὐκ ὄρνιθα, † ὄρνιθα † δ’ ὅμως,
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθωι βαλών τε κοὐ λίθωι διώλεσεν. ⊗

**Codd.:** AW$^2$T$^2$ (I) – VAFTMGI (IX) – C.H.K.T.V.E3.E4 (XI).

‖**1** δ’ I : δὲ XI ‖**2** ὄρνιθα κοὐκ ὄρνιθα IX : ὄρν. κ’ οὐκ ὄρν. I : ὄρνιν οὐκ ὄρνιν XI | ὄρνιθα δ’ ὅ. I, IX : crucibus concll. Diehl$^3$ : ὄρνιν δ’ ὅ. XI ‖**3** τε κοὐ edd. pl. : τὲ κ’ οὐ I : με κοὐ IX : καὶ οὐ XI ‖**4** λίθωι βαλὼν τε κοὐ λίθωι Bergk$^3$ : λ. β. με κ’ οὐ λ. I : λ. τε κοὐ (καὶ οὐ XI) λ. με (μ. om. XI) β. IX, XI.

*(b)* ⊗ Αἶνός τίc ἐcτιν ὡc (/) ἀνήϱ τε κοὐκ ἀνήϱ (/)
ὄϱνιθα κοὐκ ὄϱνιθ’ (/) ἰδών τε κοὐκ ἰδών (/)
ἐπὶ ξύλου τε κοὐ (/) ξύλου καθημένην (/) τε κοὐ καθημένην (/)
λίθωι τε κοὐ λίθωι (/) βάλοι τε κοὐ βάλοι. ⊗

**Codd.:** AW$^2$T$^2$ (I) – ABDMFW (II) – ABP (III) – T.H.R.A1.A2.M (IV) – SV et PaPbPcBM (V) – Σ$^b$ et GBZ (VII) – GBZ (VIII) – VAFTMG (VIII, IX) – L (X).
‖**1** τίc ἐ. I, IX, X : τιc ἔ. VII ‖**3** ξ. τε κ. ξ. I, IV, X : ξ. με καὶ οὐ ξ. V(S : ξ. μὲν κ. οὐ ξ. V : ξ. κ. οὐ ξ. PbPcBM : ξ. κ. ξ. Pa) : ξύλωι τε καὶ οὐ ξύλωι III | τε κοὐ καθημένην X : καὶ οὐ κ. V(S) : omm. III, V(Ω): alii alia ‖**4** βάλοι τε κοὐ βάλοι X : βάλλει τε καὶ οὐ βάλλει IV : βάλεν τε κοὐ βάλε VI : alii alia.

## F°°15

**Edd.:** Simon. *PMG* 522 (= fr. 258 Polt.). Prim. rec. Hartung 1857.

**Test.:** Stob. IV 51,5 (V 1067,6-8 H.) Cιμωνίδου· [vv. 1-2].

πάντα γὰϱ μίαν ἱκνεῖται δαcπλῆτα Χάϱυβδιν,
αἱ μεγάλαι τ’ ἀϱεταὶ καὶ ὁ πλοῦτοc.

**Codd.:** SA.
‖**1** γὰϱ μίαν ἱ. test. : γὰϱ <ἐc> μ. Bergk$^4$ (ad Erinn. fr.3), fort. recte : γὰϱ <εἰc> μ. ἱ. Bergk$^3$ (l.c.) : γὰϱ ἱ. μ. Hartung | δαcπλῆτα A$^2$ : λάcπηδα A : λαcπηδα S : alii alia ‖**2** τ’ ἀϱεταὶ A : τ’ om. S.

## F°°16

**Edd.:** *(a)(b)*: *Mel. chor. adesp.* frr. 1A, 1B D.$^2$; sine text.: Erinn. *SH* [406] (= Alcm. fr.°°309 Cal.). Primm. recc. Lloyd-Jones/Parsons 1983.

. . .

*(a)* (-)]να[(-)
-]ον[(-) (-)].νο[(-) -]ακόν̣[(-) (-)]τύπωcε̣[(-)
τ]ηνα.(.)ϱ[(-) (-)]τ̣ι τ̣[(-) -]κινον ἐν νεκύεc̣[cι(ν) ⊗

**Pap.:** *P. Oxy.* I 8
‖**2** e.g. -].νο[ν τε κ]ακόν̣[ τ’ ἐ]τύπωcε̣[(ν) min. prob. τυπώcε̣[ωc | ο[ὐ μαλ]ακόν [τι] Jurenka : -]ακοντα Wilamowitz$^3$ | τύπωcε̣[ pap. : τυπώcα[c] Jurenka : [τε]τυπῶcθ[αι] dub. Diehl$^1$ ‖**3** e.g. τ]ῆναι̣ ἆ̣ϱ’[ ἐγχεῦν]τι τ̣[ὸ κόc]κινον ἐν νεκύεc[cιν de Danaidibus | Ῥ]ηνᾶ[ι Blass : β]ῆνα[ι

Jurenka : Τ]ηλία[ Collart | ἄ]ϱ' [ἄνδ]ϱ'[ἀφίη]τί τ[ε cύ]κινον Jurenka : [οὐ … ἔc]τι τ[ὸ cάϱ]κινον dub. Diehl[1].

*(b)* ⊗Ἤνθομεν ἐc μεγάλας Δαμ̣[ά]τεϱοc ἐννέ' ἐάccα̣[ι,
παίcαι παϱθενικαί παίcαι καλ̣ὰ ἔμματ' ἐχοίcα[ι,
καλὰ μὲν ἔμ̣ματ' ἐχοίcαι ἀϱ[ι]πϱεπέας δὲ καὶ ὅϱμ̣[ωc
πϱιcτῶ [ἐ]ξ̣[ ἐ]λ̣έφαντοc ἰδῆν ποτεοικό̣[τ]αc α̣ιτ̣[-
(. . .)

**Pap.:** *P. Oxy.* I 8
‖**1** Grenfell-Hunt ‖**2** παίcαι[i,ii] pap. : παῖcαι Wilamowitz[5] | καλ̣ὰ ἔμματ' pap. : κ. ἔμμ. Wilamowitz[3] ‖**3** ἔμ̣ματα edd. pl. : ἔμμ. Wilamowitz[3] | ἀϱ[ι]πϱεπέας Grenfell-Hunt | ὅϱμ[ωc] Wilamowitz[3] : ὅϱμ̣[ωc Powell : οϱμ[ουc Grenfell-Hunt : ὅϱμ[οιc] Diehl[1] ‖**4** Grenfell-Hunt | αἶτ[ε (fort. recte) vel αἶτ[' ὦν Grenfell-Hunt : αἶγ[λαι / λευκοτάταc χιόνοc Blass : ἄ[c]τ[ϱοιc (vel ἄcτϱωι) Diels[1] : αἰνῶc Jurenka : alii alia.

## F°°17

**Edd.:** *Frust. adesp. SH* 1002 (= Antim. fr. dub. 191 M.).

**Test.:** Apoll. Dysc. (*De pron.* 96b-c) *GG* II/1 75,16-20 ἀπὸ τῆc coῦ Δώϱιοc ἐγίνετο ἡ τεοῦ (τ. b : τεουc A) ὁμότονοc, μεταθεῖcα τὸ c̄ εἰc τὸ τ̄ καὶ πλεονάcαcα τῶι ε̄, καθάπεϱ καὶ ἡ "cόc" ἐν τῶι "τεόc" … ἡ χϱῆcιc παϱ' Ἐπιχάϱμωι καὶ Cώφϱονι. [v. 1]. Cώφϱων "οὐχ ἧccων τεοῦ" [fr. 80 K.-A.]. Ἐπίχαϱμοc "παιδὶ τεοῦ" [fr. 141 K.-A.]. Cf. Hesych. κ 1708 L. κατετυμβοχόηcα· ἔθαψα.

αἰνοδϱυφὴc δὲ τάλαινα τεοῦ κάτα τυμβοχόηcα.

**Codd.:** A (Apoll. Dysc.) – M (Hesych.).
‖**1** κ. τυμβοχόηcα Apoll. : κατετυμβοχόηcα Hesych. : κ. τυμβοχόειcα Gallavotti[2].